ἑζόμεναι πετάλοισιν ἀηδόνες· εἰ δὲ λάληθρον
θῆλυ γένος, δέομαι μείνατ᾽ ἐφ᾽ ἡσυχίης.

## XI

Ἀντίπατρός μ᾽ ἐφίλησ᾽ ἤδη λήγοντος ἔρωτος,
καὶ πάλιν ἐκ ψυχρῆς πῦρ ἀνέκαυσε τέφρης,
δὶς δὲ μιῆς ἄκων ἔτυχον φλογός. ὦ δυσέρωτες,
φεύγετε, μὴ πρήσω τοὺς πέλας ἁψάμενος.

## XII

μὴ ᾽κδύσῃς, ἄνθρωπε, τὸ χλαινίον, ἀλλὰ θεώρει
οὕτως ἀκρολίθου κἀμὲ τρόπον ξοάνου.
γυμνὴν Ἀντιφίλου ζητῶν χάριν ὡς ἐπ᾽ ἀκάνθαις
εὑρήσεις ῥοδέαν φυομένην κάλυκα.

## XIII

εἴ τινά που παίδων ἐρατώτατον ἄνθος ἔχοντα
εἶδες, ἀδιστάκτως εἶδες Ἀπολλόδοτον·
εἰ δ᾽ ἐσιδών, ὦ ξεῖνε, πυριφλέκτοισι πόθοισιν
οὐκ ἐδάμης, πάντως ἢ θεὸς ἢ λίθος εἶ.

## XIV

†Ἑρμῇ τοξευθεὶς ἐξέσπασε πικρὸν ἐφήβῳ†
κἠγὼ τὴν αὐτήν, ξεῖνε, λέλογχα τύχην·
ἀλλά μ᾽ Ἀπολλοφάνους τρύχει πόθος. ὦ φιλάεθλε,
ἔφθασας· εἰς ἓν πῦρ οἱ δύ᾽ ἐνηλάμεθα.